**ΔΕΙΓΜΑΤΑ ΔΕΚΑΠΕΝΤΑΣΥΛΛΑΒΟΥ**

**(αρχές 11ου-μέσα 12ου αι.)**

**Ι. Συμεών Νέος Θεολόγος (έκδ. Καμπύλη)**

εἶχον δ' ἐν διανοίᾳ μου μικρὰν παραμυθίαν
τοῦ μὴ καταφλεχθῆναί με, τοῦ μὴ κατακαῆναι
ὥσπερ κηρὸς ἀπὸ πυρός, ὡς εἶπεν ὁ προφήτης,
τὸ μακρόθεν ὑπάρχειν με πυρὸς τοῦ ἀπροσίτου
καὶ σκότους μέσον ἵστασθαι καὶ κρύπτεσθαι ἐν τούτῳ,
ὅθεν ὡς ἐξ ὀπῆς μικρᾶς καὶ ὁρῶν ἰλιγγίων·
ἐν τούτοις μου διάγοντος καὶ τὸν νοῦν ἀσχολοῦντος
καὶ οἱονεὶ ἐν οὐρανῷ δοκοῦντος ἀτενίζειν
καὶ τρέμοντος μὴ πλεῖόν με παραδειχθεὶς ἐκλείξῃ,
αὐτὸν ἐκεῖνον εὕρηκα, ὃν μακρόθεν ἑώρων,
ὃν Στέφανος ἑώρακεν οὐρανῶν ἀνοιγέντων
καὶ Παῦλος πάλιν ὕστερον ἰδὼν ἀπετυφλώθη,

---

**52** Ioh. 14, 9 **57** 1 Tim. 6, 16 **62**sq. Diogen. cent. 5, 15 (= Corp. Paroem. Gr. II p. 252) **68** Ps. 67, 3; Mich. 1, 4 **76** Act. 7, 56 **77** Act. 9, 9

---

E PN(M)D QT(O)Z

---

**52** πατέρα βλέπει: βλέπει καὶ τὸν πατέρα E (in quo duae syllabae redundant) **56** καθορῶ: θεωρῶ PND **62** ὡς ἐξ ἄκρου τοῦ κρασπέδου ὅλον τὸ ὕφασμα (ὅλον post ὕφασμα transpos. Z): ὡς ἐξ ἄκρου τὸ ὕφασμα ὅλον πέλει (-λυ iotac. cod.) κρασπέδου m. c. E de metro hemist. pr. v. Prolegg. p. CCCXLVIII; hemist.



ὅλον ὡς πῦρ ἐπαληθῶς μέσον ἐμῆς καρδίας·
θροηθεὶς οὖν τῷ θαύματι καὶ τρομάξας μεγάλως
ἐξέστην ὅλος ἐκλυθείς, ὅλος ἐξαπορήσας,
μὴ φέρων τε τὸ ἄστεκτον τῆς δόξης ἀπεστράφην·
ἐν τῇ νυκτί τε ἔφυγον αἰσθήσεων τῶν ὧδε
καὶ σκεπασθεὶς τοῖς λογισμοῖς ἀπεκρύβην ἐν τούτοις,
ὥσπερ ἐν μνήματι ἐμβάς, καὶ ἀντὶ λίθου τοῦτο
τὸ σῶμα τὸ βαρύτατον ἐπιθεὶς ἐσκεπάσθην
καὶ ἀπεκρύβην τῷ δοκεῖν τὸν πανταχοῦ παρόντα,
τὸν πάλαι με ἐγείραντα νεκρὸν καὶ τεθαμμένον·
φρίξας γὰρ καὶ μὴ ἰσχύων βλέπειν αὐτοῦ τὴν δόξαν
ὑπεισελθεῖν προῄρημαι καὶ προσμεῖναι τῷ τάφῳ
καὶ κατοικεῖν μετὰ νεκρῶν ζῶν αὐτὸς ἐν τῷ τάφῳ
ἤπερ καταφλεχθῆναί με καὶ ἄρδην ἀπολέσθαι·
ἐκεῖ πάντως καθήμενον δεῖ με θρηνεῖν ἀπαύστως

**II. Μιχαήλ Ψελλός (έκδ. Westerink)**



## **Poema 7.** Rhetorica

Michaeli Ducae cum patre regnanti (ca. 1060–1067) inscribit (simul cum Grammatica, quae praecedit) codex **P**; sine dedicatione ceteri.

Est epitome corporis Hermogenei: de statibus (vss. 4–79), de inventione (vss. 80–352), de ideis (vss. 353–417), de methodo (vss. 518–540); ipsum Hermogenem passim sequitur, interpretibus contemporaneis hic illic ut videtur usus, praesertim ubi exempla e Patribus afferuntur (114–121; 167–174; 182–183; 189–197), sed cf. etiam 363–370. Ioannis Siceliotae opus rhetoricum haud ita multo sua aetate anterius vituperat semel et iterum in Theologicis I, Op. 47, 80–89 et 102, 19–23 Gautier.

*Τοῦ αὐτοῦ σύνοψις τῆς ῥητορικῆς διὰ στίχων ὁμοίων πρὸς τὸν αὐτὸν βασιλέα*

*Εἰ μάθοις τῆς ῥητορικῆς τὴν τέχνην, στεφηφόρε,*
*ἕξεις καὶ λόγου δύναμιν, ἕξεις καὶ γλώττης χάριν,*
*ἕξεις καὶ πιθανότητα τῶν ἐπιχειρημάτων.*
*Πολιτικῶν καὶ γάρ ἐστι θεωρὸς ζητημάτων,*
*πολιτικὸν δὲ ζήτημα κατὰ τὸν τεχνογράφον*
*ἀμφιβολία λογικὴ καὶ μερικὴ τυγχάνει*
*ἐκ τῶν παρὰ ταῖς πόλεσιν ἐθῶν καὶ νόμων πλέον*
*περὶ δικαίων καὶ καλῶν καὶ περὶ συμφερόντων.*
*εἴδη γὰρ τῆς ῥητορικῆς ταῦτα τὰ τρία μόνα,*
*δικανικὸν καὶ συμβουλή, καὶ πανήγυρις τρίτον·*
*καὶ τέλος μὲν δικανικοῦ τὸ δίκαιον τυγχάνει,*
*τὸ καλὸν πανηγυρικοῦ, συμβουλῆς τὸ συμφέρον.*
*Τὸ λογικὸν δὲ ζήτημα, δέσποτά μου, τῆς τέχνης*
*οὐκ ἔστι περατούμενον (τοῦτο γὰρ τὸ τῶν νόμων),*
*ἀλλ' ἔστηκε ζητούμενον εἰς ἅπαντα τὸν χρόνον.*
*Οὐκ ἔστι δ' ἰσοδύναμος φύσις τῶν ζητημάτων·*
*πρόσωπα γὰρ καὶ πράγματα κρείττω καὶ χείρω φέρει.*
*πολλάκις δ' ἐστὶν ἄχρηστον ἓν ἐκ τῶν δύο τούτων·*

7 5-8 Hermog. De stat. 1 pp. 28, 15–29, 4 || 9-10 Aristot. Rhet. I 3, 1358 b 6–8 || 11-12 ibid. b 20–29 || 16-21 cf. Hermog. De stat. 1 pp. 29, 12–13; 30, 7–9; 17–18

7 $\mathbf{r}^{m}$ 176$^{r}$–181$^{r}$ $\mathbf{r}^{v}$ 194$^{r}$–203$^{v}$ **P** 186$^{v}$–188$^{v}$ **W** 111$^{v}$–132$^{v}$ || ed. Walz 687–703 || tit. sec. **P**: *Τοῦ ψελλ(οῦ) σύνοψις τῆς ῥητορικῆς διὰ στίχων πολιτικῶν: αἱ στάσεις* $\mathbf{r}^{m}$ *Τοῦ ψελλοῦ σύνοψις τῆς ῥητορικῆς διὰ πολιτικῶν στίχων* $\mathbf{r}^{v}$ *Περὶ ῥητορικῆς τοῦ ψελλοῦ* **W** || 1 *εἰ* om. **P** | *μάθης* **P** || 2 *λόγων* $\mathbf{r}^{v}$ | *γλώττης* $\mathbf{r}^{m}\mathbf{r}^{v}$: *λόγου* **PW** || 5 *δὲ*] *τε* $\mathbf{r}^{m}$ || 8 *περὶ* $\mathbf{r}^{m}$**P** || 9 *τὰ τρία ταῦτα* trp. $\mathbf{r}^{m}$ || 10 *σύμβουλον* $\mathbf{r}^{m}$ | *πανήγυρις τὸ* (om. *καὶ*) **W** || 12 *συμβούλου* $\mathbf{r}^{m}$ || 14 *παραιτούμενον* $\mathbf{r}^{v}$ || 18 *δ'* om. $\mathbf{r}^{v}$

**III. Κωνσταντίνος Μανασσής (έκδ. Λαμψίδη)**



ὁπόσον ὑπουράνιον ἦν λελειμμένον ὕδωρ
καὶ πᾶν τὸ πρόσωπον τῆς γῆς ἐκάλυπτε λιμνάζον,
πᾶσαν τὴν χύσιν εἰς ταὐτὸ συνήγαγεν ἀθρόως,
ὡς εἴ τις γάλακτος λευκοῦ νοτίδα γλυκυχύμου
ὀπῷ συμπήξει καὶ τυροῦ κύκλον ἀποτορνεύσει.
ἀπορραγέντος τοιγαροῦν τοῦ πρὶν ἐπιπροσθοῦντος
ὤφθη τὸ πρόσωπον τῆς γῆς, ἡ μόρφωσις ἐφάνη
καὶ τῶν ὀρῶν καὶ τῶν πετρῶν καὶ λόφων βαθυκρήμνων.
ἐντεῦθεν τὸ μὲν σύστημα σύμπαν τὸ τῶν ὑδάτων
θάλασσαν κατωνόμασε, τῆς δὲ ξηρᾶς τὴν φύσιν,
ὁπόση πετροστοίβαστος, ὅση λιπαροβῶλαξ,
γῆν ὁ τεχνίτης κέκληκε θεὸς ὁ παντεργάτης·
τὴν δ᾽ ὑπερφέρουσαν αὐτοῦ δύναμιν ἐμφανίζων,
μήπω λαμψάσης τῆς αὐγῆς τοῦ γίγαντος ἡλίου,
παντοδαπὴν ἐκέλευσε βοτάνην ἐκφυῆναι,
τὴν μὲν πρὸς μόνην ἡδονὴν καὶ τέρψιν τῶν βλεφάρων,
τὴν δὲ καὶ ζῳοθρέμμονα καὶ τοῖς ἐν γῇ χρησίμην.
τότε τὸ πρῶτον στολισμοῖς ἡ γῆ κατηγλαΐσθη
ὑπὲρ κορίσκην τρυφερὰν ἄρτι νυμφευομένην,
χρυσιοφόρον, στίλβουσαν πέπλοις καταμαργάροις·
ἔλαμπεν ἴον εὔοσμον, ἀντέλαμπε τὸ ῥόδον,

---

69-99 vide O. Schissel, Der byzantinische Garten, et Lampsidis, Φιλολογικά, p. 169-72

---

53/54 : Lge. 2,5   55/56 γάλακτος... συμπήξει: Ilias 5,902   58/59 : Lge. 2,6
60/61 : Ce. I 426,1/2   61 ξηρᾶς τὴν φύσιν: Ce. I 8,6/7   65 γίγαντος ἡλίου: I Mac.
6,39; Ps. 18,6; 103,9; Si. 50,7; Ier. Epist. 66; Poèmes astron. (ed. E. Miller) 286; Prodro-
mos (ed. Hörandner) 177,3; vide vv. 108, 3233, 4211   66 παντοδαπὴν... βοτάνην: Spin. 35
ἐκέλευσε βοτάνην ἐκφυῆναι: Ce. I 8,9; Mel. 2,18; Pol. 10,16-19

---

BCDFΘJ K(usque ad 61) MPRTV
52 ἐπουράνιον JKM : ἦν ὑπ᾽ οὐρανὸν D Bekk   ἦν λελυμένον ὕδωρ KMT : ὕδωρ
ἐπιπολεῦον D : ὕδωρ περιπολεῦον Bekk   53 τῆς γῆς : αὐτῆς CDFMPRTV Bekk : eva-
nida B   λιμνάζων JMTV   54 φύσιν F : κτίσιν D   ταυτὸ CFMRTV   ἀθρόον JK
55 ὡσεὶ R   εἴ τις... νοτίδα γλυκυχύμου : τινα... γλυκύχυμον νοτίδα D   νοτίδος P
56 ὅπως DR   συμπήξη DR : συμμήξει K : συμμίξει FJ : πη sup. μί F[1]   ἀποτορνεύ-
ση D : -οι R   59 πετρῶν καὶ τῶν ὀρῶν CDFKMPR Bekk   βαθυκρίμνων P : -κρή-
μνων V   60 μὲν τὸ FK   63 παντοκράτωρ Θ : τεργάτης Θ[1mg]   64 αὐτῷ CDF Bekk
65 μήπως... γίγαντος τοῦ Θ   66 ἐκέλευσεν MV   67 ἐκφυῆναι M : τῶν βλεφάρων su-
perscr. M[1]   69 τὸν... στολισμὸν C   72 οἷον... ἀντέλαμπεν ὡς D

ἴων χροιὰ παντοδαπὴ πάντοθεν ὑπεγέλα,
κυαναυγής, πορφύρεος, ὑπόκιρρος ἑτέρα·
τινὰ μὲν περιπόρφυρα τῶν ῥόδων ἑωρᾶτο,
τινά δ' ὑπελευκαίνετο καὶ γλύκιον ἀντηύγει.
ἦν κρῖνον χιονόχροον, ἦσαν ἀναγαλλίδες,
ὑάκινθος ἀνέβαινεν, ἦν καὶ ναρκίσσου κάλλος
καὶ πᾶν τὸ πρωτοφόρημα τῶν ἔαρος χαρίτων.
ἀπερραβδοῦντο στάχυες βαρούμενοι τῷ σίτῳ,
εἷρπε κισσὸς μελάμφυλλος κορύμβους ἐπισείων·
καλὰ τὰ πάντα, δροσερά, κάλλους αὐγὰς πληροῦντα
καὶ γῆν εὐωδιάζοντα συγκράτοις εὐοδμίαις.
ἔστρωτο πόα μαλακή, δροσίζουσα, βουθρέμμων,
ἱπποφορβὸς καὶ βουκολίς, δροσώδης, λειμωνία.
τοιοῦτον στόλιον ἡ γῆ παντόχροον ἐφόρει,
τοιοῦτον πέπλον εὐανθές, εὐύφαντον ηὐτύχει.
ἦσαν καὶ φάλαγγες φυτῶν, ἀνέτελλον καὶ δένδρων
καλλίφυλλοι, καλλίκομοι κλῶνες ὀπωροφόροι.
ἦν καὶ μηλέας εὐανθὴς ὄρπηξ ἀγλαοκάρπου,
ἐλαῖαι τηλεθόωσαι, γλυκάζουσαι συκέαι,
πίτυς λιπαροστέλεχος, ἐλάτη, δρῦς, πτελέα.
προσέβαλλε τῆς πίτυος ἄνεμος τοῖς πετάλοις
καὶ γλύκιον ψιθύρισμα τοῖς φύλλοις ἐνεποίει.

---

79 πρωτοφόρημα τῶν ἔαρος χαρίτων: Longus (ed. A. Kairis) 3,12 (ἦρος πρωτοφορήματα) 84: Spin. 38/39 91 ἐλαῖαι τηλεθόωσαι: Odys. 11,590

---

BCDFΘJ K(ab 85) MPRTV
73 ἴον JV : οἶον D : υἱὸν Θ χρειὰ Θ ἐπεγέλα DF : υ sup. ἐπ F[1] 74 οἶον
αὐγὴ D πορφύροος Θ : πορφύριος PV : πορφυραυγὴς C : πανπόρφυρος M ὑπόκι-
ρος Θ : -κυρος D : -κηρρος T 76 γλύκειον MT : γλύκυμον R 77 ἐν κρίνῳ D
ἀναδαλίδες M 79 ἄρεος M 80 ἀπεραβδοῦντο CJR : ἀπεραυδοῦντο MT Bekk : ἀπε-
ραδούντω Θ : ὑπερραβδοῦντο B : ὑπεραυγοῦντο D βαρούμεναι D φόρτῳ R 81
εἶσπε M : ἦν καὶ J μελάφυλλος D 82 κάλλους : κάλλοις V πλουτοῦντα CDJ
MPR Bekk 83 σὺν κλάδοις T 84 ἤστρωτο Θ πρασίζουσα CDJMPR Bekk
85 λειμωνία : glossa βοτάνη T[1mg.] 86 στολισμὸν D 87 πέπλουν K : ν sup. υ K[1]
εὐύφαντο K : εὐ ὕφαντον M 88 ἀνέτελλον : ἀνέθαλον superscr. M[1] ῥόδων JK 89
καλλίκομοι καλλίφυλλοι F : καλλίκομοι καλλιφυεῖς C 90 καὶ om. K εὐανθοῦς
P : εὐαυξὴς CMRT Bekk : εὐαξὴς DFΘV δρπιγξ T 91 ἐλαία D τελλεθόωσαι
P : τελαιθόωσα D : θάλλουσαι T[1mg.] 92 πίτης K : ι sup. η K[1] λιπαροστέλεγχος
JPT δυσπτελέας K 93 προσέβαλε FJKV : προσέλαβε Θ τῆς : τὴν K 94 γλύ-
κειον MT : γλύκυον K φύλοις K